eul_wid: hps-bn

*Μένανδρος ὁ Ἀθηναῖος* · Menander of Athens

## Georgus

*Γεωργός*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

(ΝΕΑΝΙΣΚΟΣ) []προσιὼν πράττων
[]ὑποφοβούμενος
ἦν δ’ οὐ πονηρὸς οὐδ’ ἐδόκουν 〈 〉
[ ]ε ὁ μειρακίσκος ἐν ἀγρῶι διετέλει,
ἔτυχέ τι] συμβεβηκὸς ὅ μ’ ἀπολώλεκε
ἀπόδη]μον εἰς Κόρινθον ἐπὶ πρᾶξίν τινα·
κατιὼν ὑ]πὸ νύκτα γινομένους ἑτέρους γάμους
καταλαμ]βάνω μοι, τοὺς θεοὺς στεφανουμένους,
τὸν πατέ]ρα θύοντ’ ἔνδον· ἐκδίδωσι δὲ
αὐτὸς ὁ] πατήρ· ὁμοπατρία γάρ ἐστί μοι
ἐκ τῆς 〈 〉 ] νυνὶ γυναικὸς τρεφομένη
[ ἀ]δελφή. τίνα δὲ δυσφεύκτωι κακῶι
τρόπον μάχωμ’ οὐκ οἶδ]α· πλὴν οὕτως ἔχω·
[ οἰ]κίας οὐδὲν φράσας
[ ]λ[ι]πὼν δὲ τὸν γάμον τὴν φιλτάτην
[...]αν ἀδικήσαιμ’ ἄν· οὐ γὰρ εὐσεβές.
κόπτειν δὲ μέλλων τὴν θύραν ὀκνῶ πάλαι· οὐκ οἶδα γὰρ τὸν ἀδελφὸν εἰ νῦν ἐξ ἀγροῦ
ἐνθάδ’ ἐπιδημεῖ· πάντα προνοεῖσθαί με δεῖ.
ἀλλ’ ἐκποδὼν ἄπειμι καὶ βουλεύσομαι
τοῦτ’ αὔθ’, ὅπως δεῖ διαφυγεῖν με τὸν γάμον.
ΜΥΡΡΙΝΗ
ἀλλ’ ὡς πρὸς εὔνουν, ὦ Φίλιννα, τοὺς λόγους
ποουμένη σε πάντα τἀμαυτῆς λέγω·
ἐν τοῖσδ’ ἐγὼ νῦν εἰμι.
〈ΦΙΛΙΝΝΑ〉 καί, νὴ τὼ θεώ,

25.1 ἔγωγ’ ἀκούους’, ὦ τέκνον, μικροῦ δέω
25.2 πρὸς τὴν θύραν ἐλθοῦσα καὶ καλέσασα τὸν
25.3 ἀλαζόν’ ἔξω τοῦτον εἰπεῖν ὅσα φρονῶ.
25.4 〈Μυ〉 μὴ σύ γε, Φίλιννα. χαιρέτω.
28.1 (Φι) τί “χαιρέτω”;
28.2 οἰμωζέτω μὲν οὖν τοιοῦτος ὤν. γαμεῖ
30.1 ὁ μιαρὸς οὗτος ἠδικηκὼς τὴν κόρην
30.2 [ ]τοσούτους κατατ[ ] προσέρχεται
30.3 [ ]ὁ θεράπων ἐξ ἀγροῦ Δᾶος. βραχὺ
30.4 .[..]ι μεταστῶμεν.
33.1 〈Φι〉 τί δ’ ἡμῖν, εἰπέ μοι,
33.2  〈τούτου〉 μέλει; καλόν γ’ ἂν εἴη, νὴ Δία.
35 ΔΑΟΣ
35.1 ἀγρὸν εὐσεβέστερον γεωργεῖν οὐδένα οἶμαι· φέρει γὰρ μυρρ[ίνην, κιττὸν] καλόν,
35.2 ἄνθη τοσαῦτα, τἆλλα δ’ ἄν τις καταβάληι,
35.3 ἀπέδωκεν ὀρθῶς καὶ δικαίως, οὐ [πλέον
35.4 ἀλλ’ αὐτὸ τὸ μέτρον. ὁ Σύρος εἰσένεγχ’ ὅμως
40.1 πάνθ’, ὅσα 〈γε〉 φέρομεν· ταῦτα πάντ’ εἰς τοὺς γάμους.
40.2 ὦ χαῖρε πολλά, Μυρρίνη.
41.1 (Μυ) νὴ καὶ σύ γε.
41.2 〈Δα〉 οὗ σε καθεώρων, γεννικὴ καὶ κοσμία
41.3 γύναι. τί πράττεις; βούλομαι ς’ ἀγαθῶν λόγων,
41.4 μᾶλλον δὲ πράξεων ἐσομένων, ἂν οἱ θεοὶ
45.1 θέλωσι, γ[εῦσ]αι καὶ φθάσαι πρῶτο[ς φράσας.
45.2 ὁ Κλεαίνετος γάρ, οὗ τὸ μειράκιον [τὸ σὸν
45.3 ἐργάζεται, πρώην ποτ’ ἐν ταῖς ἀμπέλοις
45.4 σκάπτων διέκοψε τὸ σκέλος χρηστῶς πάνυ.
45.5 〈Μυ〉 τάλαιν’ ἐγώ.
49.1 (Δα) θάρρει· τὸ πέρας δ’ ἄκουέ μου. ἀπὸ τοῦ γὰρ ἕλκους, ὡς τριταῖον ἐγένετο,
49.2 βουβὼν ἐπήρθη τῶι γέροντι θέρμα τε
49.3 ἐπέλαβεν αὐτὸν καὶ κακῶς ἔσχεν πάνυ.
49.4 (Φι) ἀλλ’ ἐκκορηθείης σύ γ’· οἷα τἀγαθὰ
49.5 ἥκεις ἀπαγγέλλων.
54 (Μυ) σιώπα, γρᾴδιον.
55.1 (Δα) ἐνταῦθα χρείας γενομένης αὐτῶι τινος
55.2 κηδεμόνος, οἱ μὲν οἰκέται καὶ βάρβαροι,
55.3 ἐφ’ οἷς ἐκεῖνός ἐστιν, οἰμώζειν μακρὰν
55.4 ἔλεγον ἅπαντες, ὁ δὲ σὸς ὑός, οἱονεὶ
55.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νομίσας ἑαυτοῦ πατέρα, πο[ιήσ]ας [ἃ δεῖ,
ἤλειφεν, ἐξέτριβεν, ἀπένιζεν, φαγεῖν προσέφερε, παρεμυθεῖτο, πάνυ φαύλως ἔχειν
δ[ό]ξ[α]ντ’ ἀνέστης’ αὐτὸν ἐπιμελούμενος.
(Φι) φίλον τέκνον.
(Δα) νὴ τὸν Δί’, εὖ δῆθ’ οὑτοσί.
ἀναλ]α 〈μ〉 β 〈άν〉 ων γὰρ αὐτὸν ἔνδον, καὶ σχολὴν
εὑρὼν] ἀπαλλαγεὶς δικέλλης καὶ κακῶν—
οὕτω] τίς ἐστι σκληρὸς ὁ γέρων τῶι βίωι—
τοῦ μειρ]ακίου τὰ πράγματ’ ἀνέκρινεν, τίνα
ἔστ’, οὐχὶ παντάπασιν ἀγνοῶν ἴσως.
κοινου]μένου δὲ τοῦ νεανίσκου τά τε
περὶ τ]ῆς ἀδελφῆς ἐμβαλόντος σοῦ 〈τε〉 καὶ
[ ]. ἔπαθέ τι κοινὸν καὶ χάριν
τῆς ἐπιμελείας ὤιετ’ ἐκ παντὸς λόγου
δεῖν αὐτὸν ἀποδοῦναι, μόνος τ’ ὢν καὶ γέρων
νοῦν ἔσχε· τὴν γὰρ παῖδ’ ὑπέσχηται γαμεῖν.
κεφάλαιόν ἐστι τοῦτο τοῦ παντὸς λόγου.
ἥξουσιν ἤδη δεῦρ’, ἄπεισιν εἰς ἀγρὸν
αὐτὴ]ν λαβών. παύσεσθε πενίαι μαχόμενοι,
δυσνουθετήτωι θηρί[ωι καὶ δυσκόλωι καὶ ταῦτ’ ἐν ἄστει· δεῖ γὰρ ἢ πλουτεῖν ἴσως
ἢ ζῆν ὅπως μὴ μάρτυρας τοῦ δυστυχεῖν
πολλούς τις ἕξει τοὺς ὁρῶντας· ἔστι δὲ
ἀγρὸς εἰς τὸ τοιοῦτ’ εὐκτὸν ἥ τ’ ἐρημία.
εὐαγγελίσασθαι πρός σε ταῦτ’ ἐβουλόμην.
ἔρρωσο πολλά.
〈Μυ〉 καὶ σύ.
〈Φι〉 τί πέπονθας, τέκνον;
τί περιπατεῖς τρίβουσα τὰς χεῖρας;
〈Μυ〉 τί γάρ;
Φίλινν’, ἀποροῦμαι νῦν τί ποιῆσαί με δεῖ.
(Φι) περὶ τίνος;
〈Μυ〉 ἡ παῖς ἐστι τοῦ τόκου, φίλη,
[ὁμοῦ]τοδε
(ante actus finem octo sequebantur uersus)
(uersus non amplius xxv deesse uidentur)
(Γο) τοιοῦ[τ στροβει[
τοῦτ’ ε[
ἐγώ· τί ποιή[σω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτῶν ἰδω[

103.1 ˋ—ˊ

103.2 Φιλιν' πρὸ τῶν θυρῶ[ν

104 ˋ—ˊ

105.1 Γοργ' οὐδεὶς γάρ εἰμ’ ἕ[τερος

105.2 (Φι) τί ἐστιν; (Γο) οὐδέν· ἀ[

105.3 τὴν μητέρ’ επη[

105.4 Φίλιννα, κάλεσον[

105.5 (Φι) μὰ τὼ θεώ, τέκν[ον

109 ˋ—ˊ

110 σὺ γὰρ παρ’ ἡμῶν α[

110.1 ˋ—ˊ

110.2 ἐγ γειτόνων ὄντ[

110.3 τὴν Ἄρτεμιν[

112.1 ˋ—ˊ

112.2 (Γο) ἐγὼ καλῶ π[

112.3 καὶ νῦν τί ποι[

115 ἢ πῶς μαλακ[

115.1 ˋ—ˊ

115.2 τὸ παιδίον κα[

115.3 τί ταῦτά τις [.]ε[

115.4 ἡμῖν ὑπόλοιπον

115.5 παρρησίαν τ’ ην[

120.1 ὁρῶντα ταυτ[

120.2 ἡμᾶς τε τοὺσ[

120.3 ]ἐπειτ[

120.4 οὐδ’ ἄξιόν γ’ ἐστ[ίν

120.5 ὑμῖν ἐγὼ[

125.1 ἅπασι καὶ τ[

125.2 ἐχ...α[

125.3 κομματ[ οἰκειότη[